ποσαχῶς· ὅτι τριχῶς

1. κατὰ τὴν ὕλην· οἷον, ὃ μὴ ἐστέρηται τῶν ὀφθαλμῶν, τοῦτο ἔχει ὀφθαλμούς· ὁ λίθος οὐκ ἐστέρηται ὀφθαλμῶν· ὁ λίθος ἄρα ἔχει ὀφθαλμούς. 58

2. κατὰ τὸ σχῆμα· οἷον πᾶσα μήτηρ ἀγαπᾷ τὸν υἱόν· πᾶς πατὴρ ἀγαπᾷ τὸν υἱόν· πᾶς ἄρα πατὴρ ἐστὶ μήτηρ.

3. κατὰ τὴν ὕλην καὶ τὸ σχῆμα· οἷον πάντες οἱ σοφοὶ εἰσὶν ἑπτά· πάντες οἱ σοφοὶ εἰσὶ δίκαιοι· πάντες ἄρα οἱ δίκαιοι εἰσὶν ἑπτά.

3. πόσοι σκοποὶ ὧν στοχάζονται οἱ σοφοί· ὅτι πέντε

1. ὁ ἔλεγχος· ἐστὶ δὲ ὅταν τις ἀρνησάμενός τι, ταὐτὸ πάλιν ὁμολογήσῃ· ἢ ὁμολογήσας τι, πάλιν ταὐτὸ ἀρνήσηται· οἷον εἰ ὁ λέξας τὸν καθεύδοντα μὴ βλέπειν, ἀναγκασθείη τὸ ἐναντίον λέγειν, διὰ ὄψιν ἔχειν τὸν καθεύδοντα.

2. τὸ ψεῦδος· ἐστὶ δὲ τὸ ἀρνήσασθαι τὸ ἀληθές, ἢ τὸ ὁμολογεῖν τὸ ψεῦδος· οἷον, εἴ τις ἀναγκασθείη ὁμολογεῖν, ὅτι ὁ ἄνθρωπος ἔχει πτερά, διὰ τὸ μὴ ἀπολέσαι αὐτά.

3. τὸ παράδοξον· ὅταν τις ὁμολογήσῃ τὸ μηδενὶ δοκοῦν, ἢ μόνον τοῖς παροῦσι μὴ δοκοῦν· οἷον, εἴ τις ἀναγκασθείη ὁμολογεῖν, παρόντων σοφῶν ἀνδρῶν, τὸν ἥλιον εἶναι ἐλάττω τῆς γῆς· ἢ παρόντων ἰδιωτῶν, τὸν οὐρανὸν εἶναι μείζω τῆς γῆς.

4. σολοικισμός· εἴ τις ἀναγκασθείη, μὴ ἑλληνίζειν· οἷον, πᾶς ἄνθρωπος ἐστὶ λογικός· αὕτη ἡ γυνὴ ἐστὶν ἄνθρωπος· αὕτη ἄρα ἡ γυνὴ ἐστὶ λογικός. καὶ πάλιν· ὃ λέγεις εἶναι, ἀληθῶς, τοῦτο καὶ ἔστιν ἀληθῶς· φὴς δὲ τοῦτον εἶναι λίθον· ἔστιν ἄρα τοῦτον λίθον.

5. ἀδολεσχία· τὸ ἀναγκάζεσθαι πολλάκις ταὐτὸ λέγειν· οἷον οἱ γέροντες εἰσὶ παῖδες ὁμωνυμικῶς· οἱ γέροντες οὐκ εἰσὶ παῖδες συνωνυμικῶς· οἱ συνωνυμικῶς ἄρα παῖδες οὐκ εἰσὶν ὁμωνυμικῶς παῖδες.

4. οἱ σοφιστικοὶ ἔλεγχοι· περὶ ὧν τὸ β΄ον κεφ.

5. ἡ λύσις τῶν ἐλέγχων· περὶ ἧς τὸ γ΄ον κεφ.

http://digital.slub-dresden.de/ppn347224571/47